UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

**Eusebius <Caesariensis>**

**Mogvntiae, 1672**

XLVIII. Constantini decennalia.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

& statuæ, ceteraq; id genus monumenta quæ honoris causâ erigi solent, ubique terrarum dejecta sunt. Post hunc alii quoque propinquitate generis conjuncti, cùm occultè ei insidiarentur, deprehensi sunt; Deo scilicet cuncta illorum consilia mirabili quodam modo per visiones famulo suo detegente. Nam & præsentiam suam ei sæpius exhibere dignatus est; divina scilicet specie per summum miraculum ei apparente, ac futurarum rerum præscientiam ipsi suggerente. Et inexplicabilia quidem illa divinæ gratiæ miracula, quę Deus ipse famulo suo præstare dignatus est, ne comprehendi quidem dicendo facilè possunt. Quibus ille munitus, reliquum tempus ætatis tutissimè traduxit; tum ex subditorum benevolentia maximam capiens voluptatem; tum ex eo quòd cunctos Imperio suo subjectos in summa tranquillitate ac lætitia degere videbat: tum præcipuè ob splendorem Ecclesiarum Dei incredibili gaudio gestiens.

A θέσει τιμῆς νενόμιστο, πανταχοῦ γῆς ὡς ἀνοσίου τε καὶ δυσσεβοῦς καθῄρουν. εἶτα δὲ καὶ μετὰ τοῦτον τῶν πρὸς γένους ἕτεροι, κρυφίως αὐτῷ συρράπτοντες ἐπιβουλὰς ἡλίσκοντο. παραδόξως τοῦ Θεοῦ τὰς τούτων ἁπάντων βουλὰς τῷ αὐτοῦ θεράποντι διὰ φασμάτων ἐκκαλύπτοντος. ὃ δὴ καὶ θεοφανείας αὐτὸν πολλάκις ἠξίου. παραδοξότατα θείας ὄψεως ἐπιφαινομένης αὐτῷ, παντοίας τε παρεχούσης πραγμάτων ἐσομένων μελλόντων προγνώσεις. τὰ μὲν οὖν ἐκ Θεοῦ χάριτος ἀδιήγητα θαύματα, οὐδ' ἔστι λόγῳ περιλαβεῖν δυνατὸν, ὅσα περ Θεὸς αὐτὸς τῷ B αὐτοῦ θεράποντι παρέχειν ἠξίου· οἷς δὴ περιπεφραγμένος, ἐν ἀσφαλεῖ λοιπὸν τὴν ζωὴν διῆγε. χαίρων μὲν ἐπὶ τῇ τῶν ἀρχομένων εὐνοίᾳ. χαίρων δὲ καὶ ἐφ' οἷς τοὺς ὑπ' αὐτὸν πάντας εὔθυμον διατελοῦντας βίον ἑώρα. ὑπερβαλλόντως δὲ ἐνευφραινόμενος τῇ τῶν ἐκκλησιῶν τοῦ Θεοῦ φαιδρότητι.

## Caput XLVIII.

*Constantini decennalia.*

Dum in hoc statu esset, decimus Imperii ejus annus evolutus est. Cujus rei causâ festis diebus per universum orbem Romanum celebratis, preces cum gratiarum actione tanquam puras victimas, ignis & nidoris expertes, Deo omnium Regi obtulit. Et ex his quidem maximam animo capiebat voluptatem: sed non perinde eum oblectabant nuntii illi, qui de provinciarum Orientis vastatione afferebantur.

## ΚΕΦΑΛΑΙΟΝ ΜΗ.

Δεκαετηρὶς Κωνσταντίνου πανήγυρις.

C Οὕτω δ' ἔχοντι, δεκαέτης αὐτῷ τῆς βασιλείας ἠνύετο χρόνος· ἐφ' ᾧ δὴ πανδήμους ἐκτελῶν ἑορτὰς, τῷ πάντων βασιλεῖ Θεῷ εὐχαρίστους εὐχὰς, ὥσπερ τινὰς ἀπύρους καὶ ἀκάπνους θυσίας ἀνεπέμπετο. ἀλλ' ἐπὶ μὲν τούτοις χαίρων διετέλει. οὐ μὴν καὶ ἐφ' οἷς ἀκοῇ περὶ τῶν κατὰ τὴν ἑῴαν τρυχομένων ἐθνῶν ἐπυνθάνετο.

## Caput XLIX.

*Quomodo Licinius Orientem afflixerit.*

Etenim immanis quædam bellua tum Ecclesiæ Dei, tum reliquis Provincialibus illic insidiari nuntiabatur: cùm nequissimus dæmon quasi æmulatione succensus, iis quæ ab Imperatore Dei amantissimo gerebantur, contraria facere studeret. Adeò ut Imperium Romanum duas in partes divisum, nocti ac diei simile esse omnibus videretur. Quippe Orientis quidem incolas caligo noctis premebat: eos verò qui Occidentis partes habitabant, serenissimus illustrabat dies. Qui cùm infinitis bonis à Deo sibi conciliatis fruerentur, non tulit id

## ΚΕΦΑΛΑΙΟΝ ΜΘ.

Ὅπως τὴν ἀνατολὴν ἐκάκωσε Λικίνιος.

D Δεινὸς γάρ τις αὐτῷ κἀνταῦθα, τῇ τε ἐκκλησίᾳ τοῦ Θεοῦ, τοῖς τε λοιποῖς ἐπαρχιώταις ἐφεδρεύειν ἀπηγγέλλετο θήρ. τοῦ πονηροῦ δαίμονος ὥσπερ ἁμιλλωμένου, τὰ παρὰ τῷ θεοφιλεῖ πραττομένοις ταῦτα κατεργάζεσθαι· ὡς δοκεῖν τοῖς σύμπασι τὴν ὑπὸ Ῥωμαίοις ἀρχὴν δυσὶ τμήμασι διαληφθεῖσαν, ἐοικέναι νυκτὶ καὶ ἡμέρᾳ. σκότους μὲν τοῖς τὴν ἑῴαν λαχοῦσιν ἐπιπολάζοντος. ἡμέρας δὲ τηλαυγεστάτης τοῖς τῆς θατέρας μοίρας οἰκήτορσι καταλαμπούσης. ὡς δὲ μυρίων ἀγαθῶν ἐκ Θεοῦ πρυτανευομένων

οἱ